# 17 IULIE

# PARACLISUL SF.MARI MUCENITE MARINA DE LA ANTIOHIA PISIDIEI

## PARACLISIER-GR

www.tezaurliturgic.ro



# ΙΟΥΛΙΟΣ ΙΖ
# ΑΓΙΑ ΜΑΡΤΥΣ ΜΑΡΙΝΑ
# ΠΑΡΑΚΛΗΣΙΣ

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ είς τούς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*
Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καὶ εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι είς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*
Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

Στίχ. γ'. *Παρά Κυρίου έγένετο αὕτη καὶ ἔστι θαυμαστή έν όφθαλμοῖς ἡμῶν.*
*Θεός Κύριος καὶ έπέφανεν ἡμῖν…*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς έν τῷ Σταυρῷ.*
Παρθενομάρτυς τοῦ Σωτῆρος Μαρίνα, ὡς παῤῥησίαν πρὸς Αὐτὸν κεκτημένη, πάσης άνάγκης ῥύου καὶ κακώσεως, καὶ παντοίων θλίψεων, καὶ παθῶν καὶ κινδύνων, τοὺς πιστῶς προστρέχοντας, τῷ ἁγίῳ ναῷ σου, καὶ έκζητοῦντας Μάρτυς εὐλαβῶς, τὴν σὴν θερμὴν προστασίαν ὲκάστοτε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*
Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, είμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς έῤῥύσατο έκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν έλευθέρους; Οὐκ άποστῶμεν Δέσποινα έκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις άεί, έκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Μαρίνα, δίδου ἡμῖν σὴν χάριν. Γερασίμου.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*
Μαρίνα παρθένων ἡ καλλονή, καὶ δόξα Μαρτύρων, καθικέτευε έκτενῶς, διδόναι συγχώρησιν

πταισμάτων, τοῖς προσιοῦσιν θερμῶς τῇ πρεσβείᾳ σου.
Ἀπάσης ἀνάγκης καὶ προσβολῆς, ἀτρώτους συντήρει, τοὺς προσπίπτοντας εὐλαβῶς, Μαρίαν τῇ θείᾳ σου εἰκόνι, καὶ τὴν θερμήν σου αἰτοῦντας βοήθειαν.
Ῥοαῖς καὶ ἀρδείαις ταῖς μυστικαῖς, Μαρίνα θεόφρον, ὧνπερ εἴληφας δωρεῶν, τοὺς ἄνθρακας σβέσον τῶν παθῶν μου, καὶ τὴν κατ᾽ ἄμφω ὑγείαν μοι δώρησαι.

*Θεοτοκίον.*

Ἰσχὺν ἡμῖν δίδου κατὰ παθῶν, Κεχαριτωμένη παντευλόγητε Μαριάμ, καὶ παῦσον ψυχῆς μου τὴν ὀδύνην, τὸν ἰατρὸν τῶν ψυχῶν ἡ κυήσασα.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Νοσημάτων παντοίων καὶ πολλαπλῶν θλίψεων, καὶ ἐπηρειῶν ὀλεθρίων, τοῦ πολεμήτορος, ἡμᾶς ἀπάλλατε, Μεγαλομάρτυς Μαρίνα, ταῖς πρὸς τὸν Νυμφίον σου, θερμαῖς δεήσεσιν.
Ἀθληφόρων λαμπρότης νύμφη Χριστοῦ πάνσεμνε, καὶ τῶν εὐσεβῶν προστασία, Μαρίνα ἔνδοξε, πάσης στενώσεως, καὶ δυσπραγίας ἐν βίῳ, ἀσινεῖς διάσωζε, τοὺς σὲ γεραίροντας.
Δοξασθεῖσα ἀξίως παρὰ Χριστοῦ πάνσεμνε, πάσης τῶν παθῶν ἀδοξίας, καὶ πάσης θλίψεως, ἀτρώτους φύλαττε, Παρθενομάρτυς Μαρίνα, τοὺς πιστῶς προστρέχοντας, τῇ ἀντιλήψει σου.

*Θεοτοκίον.*

Ἱλασμὸν ἡμῖν αἴτει καὶ τῶν παθῶν ἴασιν, καὶ τῶν ἐν τῷ βίῳ κινδύνων τὴν ἀπολύτρωσιν, Παρθένε ἄχραντε, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸ τῆς Σῆς κυήσεως, μέγα μυστήριον.

Διάσωσον, Παρθενομάρτυς Μαρίνα ταῖς σαῖς πρεσβείαις, πάσης βλάβης καὶ νοσημάτων καὶ θλίψεων, τοὺς ἐκζητοῦντας τὴν θείαν σου προστασίαν.
Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Πρεσβείᾳ τῇ σῇ μετὰ σπουδῆς προστρέχοντες, Μαρίνα σεμνή, λαμβάνομεν πᾶν αἴτημα· σὺ γὰρ παρέχεις ἅπασι, καὶ ψυχῶν καὶ σωμάτων τὴν ἴασιν, καὶ διαλύεις δεινὰς συστροφάς, ἀεὶ καθ' ἡμῶν τοῦ παναλάστορος.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Δεδεγμένη πανεύφημε, τὴν τῶν ἰαμάτων θείαν ἐνέργειαν, μὴ ἐλλείπῃς βλύζειν πάντοτε, τοῖς σοὶ προσιοῦσιν ῥῶσιν ἄφθονον.
Ὀδυνῶν ἀπαλλάττονται, καὶ πολυειδῶν σεμνὴ περιστάσεων, οἱ προστρέχοντες τῷ οἴκῳ σου, καὶ τὴν θείαν χάριν σου κηρύττοντες.

Ὑπὲρ πάντων ἱκέτευε, τὸν σὸν ὦ Μαρίνα Νυμφίον πάντοτε, πειρασμῶν διδόναι λύτρωσι, τοῖς εἰλικρινῶς σε μακαρίζουσι.

*Θεοτοκίον.*

Ἡ τὸν πάντων δεσπόζοντα, τέξασα Παρθένε σαρκὶ δι' ἔλεος, δεσποτεία τοῦ ἀλάστορος, τὸν ῥερυπωμένον νοῦν μου λύτρωσαι.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Μάρτυς ἀληθής, ἀνεδείχθης τοῦ παντάνακτος, ἐναθλήσασα Μαρίνα καρτερῶς· διὰ τοῦτο τῇ σῇ χάριτι προστρέχομεν.

Ἴασαι ψυχῶν, καὶ σωμάτων τὰ συντρίμματα, τῶν ἐν πίστει προσιόντων σοι σεμνή, ὡς θαυμάτων δεδεγμένη χάριν ἄφθονον.

Νέκρωσον ἐχθροῦ, τοῦ δολίου τὰ βουλεύματα, ἃ τεκταίνει ὦ Μαρίνα καθ' ἡμῶν, ἐν εἰρήνῃ συντηροῦσα τὴν ζωὴν ἡμῶν.

*Θεοτοκίον.*

Σάρκα προσλαβών, ἐξ αἱμάτων Σου πανάμωμε, ὁ τοῖς πᾶσι τὴν ζωὴν ἀεὶ διδούς, προστασίαν Σε ἡμῶν θερμὴν ἀνέδειξε.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἡλίου, τοῦ νοητοῦ ταῖς ἀκτῖσι, λαμπομένη καλλιμάρτυς Μαρίνα, διασκεδάζεις παθῶν πάντα ζόφον, καὶ ἀκαθάρτων πνευμάτων ἐπήρειαν, καὶ εὐφροσύνης θεῖον φῶς, ἀνατέλλεις τοῖς σὲ μακαρίζουσι.

Ναμάτων, τῶν νοητῶν πληρουμένη, ἐκ πηγῶν τοῦ σωτηρίου Μαρίνα, βλῦσον ἡμῖν, γλυκασμὸν σωτηρίας, καὶ δροσισμὸν θεϊκῆς ἀγαθότητος, ὡς κεκτημένη πρὸς Χριστόν, παῤῥησίαν πολλὴν καλλιπάρθενε,

Χειμάζει, παθῶν ποικίλων χειμών με, καὶ καθέλκει πρὸς βυθὸν ἀπωλείας, ἀλλ᾽ ὡς λιμένι τῷ θείῳ ναῷ σου, καταφυγὼν ὦ Μαρίνα κραυγάζω σοι· τῶν ἐπελθόντων μοι δεινῶν, διὰ τάχους ἐξάρπασον δέομαι.

*Θεοτοκίον.*

Ἀφράστως, τὸν Ποιητὴν τῶν ἁπάντων, μετὰ σώματος τεκοῦσα Παρθένε, ἀναλλοιώτως ἀτρέπως ὡς οἶδε, δι᾽ εὐσπλαγχνίαν ὁ μόνος φιλάνθρωπος, διέλυσας τὴν τοῦ Ἀδάμ, τῷ Σῷ τόκῳ κατάραν πανάμωμε.

Διάσωσον, Παρθενομάρτυς Μαρίνα ταῖς σαῖς πρεσβείαις, πάσης βλάβης καὶ νοσημάτων καὶ θλίψεων, τοὺς ἐκζητοῦντας τὴν θείαν σου προστασίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Παρθενομάρτυς Μαρίνα θεόνυμφε, τὰς ἱκεσίους φωνὰς ἡμῶν πρόσδεξαι, καὶ πλήρου ἡμῶν τὰ αἰτήματα, τῇ πρὸς Χριστοῦ δεδομένῃ σοι χάριτι, πταισμάτων αἰτοῦσα ἡμῖν ἄφεσιν.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*
Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.*

ΕΥΑΓΓΕΛΙΟΝ. Ἐκ τοῦ κατὰ Ματθαῖον (κεφ. κε΄. 1- 13)

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ΄ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδού, ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν. Πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ΄ αὐτοῦ εἰς τοὺς γάμους καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ

λοιπαὶ παρθένοι λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Δόξα: *Ταῖς τῆς Ἀθληφόρου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.:
*Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*
Νύμφη ἀδιάφθορος, καὶ θαυμαστὴ Ἀθληφόρος, ὦ Μαρίνα πέφηνας, τοῦ Χριστοῦ ἀθλήσασα θείῳ ἔρωτι, καὶ πολλῆς χάριτος, Μάρτυς ἠξιώθης· διὰ τοῦτό σου δεόμεθα, ἐκ πάσης θλίψεως, καὶ ὀδυνηρῶν περιστάσεων, καὶ νόσων καὶ κακώσεων, ἀβλαβεῖς ἡμᾶς διαφύλαττε, τοὺς ἐν εὐλαβείᾳ, προστρέχοντας τῷ θείῳ σου ναῷ, καὶ τῇ ἁγίᾳ εἰκόνι σου, πάνσεμνε προσπίπτοντας.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ῥῶσον θείαν πηγάζει ἡ ἁγία εἰκών σου Μαρίνα ἔνδοξε, ᾗ πίστει προσιόντες, ὑμνοῦμέν σου τοὺς ἄθλους, καὶ συμφώνως κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.
Ἰατρεύειν μὴ παύσῃ τὰς δεινὰς καχεξίας καὶ τὰ νοσήματα, Μαρίνα Ἀθληφόρε, τῶν πίστει προσιόντων, τῷ ναῷ σου ἑκάστοτε, καὶ ἐκζητούντων τὴν σήν, θερμῶς ὀξεῖαν χάριν.

Νοῦν ἀλάστορα Μάρτυς τῇ στεῤῥᾷ σου ἀθλήσει καταπεπάτηκας· αὐτοῦ οὖν τῆς κακίας, Μαρίνα Ἀθληφόρε, τοὺς βοῶντας ἀπάλλατε· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Γηγενῶν τὴν οὐσίαν νεκρωθεῖσαν ἀπάτῃ τοῦ πολεμήτορος, ἐζώωσας Παρθένε, Χριστὸν τὸν ζωοδότην, ἀποῤῥήτως κυήσασα, τὴν τῶν ἁπάντων ζωήν, καὶ λυτρωτὴν τοῦ κόσμου.

## *ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἐν τῷ ναῷ σου, οἱ προσιόντες Μαρίνα, θᾶττον ῥύονται ἐκ πάσης δυσχερείας, καὶ τῆς ἀρωγῆς σου, κηρύττουσι τὴν χάριν.

Ῥῦσαι Μαρίνα, τῆς ἐπελθούσης ἀνάγκης, τοὺς προσπίπτοντας τῇ θείᾳ σου πρεσβείᾳ, καὶ παράσχου πᾶσι, χαρὰν καὶ εὐφροσύνην.

Ἀῤῥωστημάτων, καὶ χαλεπῶν συμπτωμάτων, ἀπολύτρωσαι Μαρίνα Ἀθληφόρε, τοὺς ἐκδεχομένους, τὴν θείαν ἀρωγήν σου.

*Θεοτοκίον.*

Σὺ εἶ Παρθένε, Χριστιανῶν ἡ προστάτις· διὸ ἅπαντες τῇ Σῇ σπεύδομεν σκέπῃ, ἵνα λυτρωθῶμεν, πολυειδῶν σκανδάλων.

## *ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἰάσεων Μαρίνα, βλύζουσα τὰ ῥεῖθρα, ἀσθενειῶν κατακλύζεις τὸν βόρβορον, καὶ τὴν ὑγείαν παρέχεις τοῖς σὲ γεραίρουσι.

Μεγίστων χαρισμάτων, κατηξιωμένη, μεγάλων πόνων καὶ θλίψεων λύτρωσαι, Μεγαλομάρτυς Μαρίνα τοὺς εὐφημοῦντάς σε.
Ὁ ἅγιος ναός σου, πάντας ἁγιάζει, τοὺς ἐν αὐτῷ μετὰ πίστεως σπεύδοντας· διὸ Μαρίνα ὑμνοῦμεν τὰς ἀντιλήψεις σου.

*Θεοτοκίον.*

Ὑψίστου χαῖρε Μῆτερ, Κεχαριτωμένη· χαῖρε Παρθένε Ἀγγέλων Βασίλισσα, καὶ τῶν βροτῶν σωτηρία καὶ καταφύγιον.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.
Χαίροις τῶν παρθένων ἡ καλλονή, καὶ Μαρτύρων δόξα, ὦ Μαρίνα νύμφη Χριστοῦ· χαίροις προστασία, ἡμῶν καὶ θυμηδία, τῶν καυχωμένων Μάρτυς, τοῖς θαυμασίοις σου.
Νύμφη τοῦ Σωτῆρος περικαλλής, τούτῳ προσελθοῦσα, διανοίᾳ εἰλικρινεῖ, γέγονας Μαρίνα, καὶ ἤθλησας ἀνδρείως, ὡς τετρωμένη Μάρτυς, τούτου τῷ ἔρωτι.
Χαίρουσα ἐκήρυξας τὸν Χριστόν, καὶ εὐτονωτέρα, αἰκισμάτων ὀδυνηρῶν, ῥώμῃ θεοσδότῳ, Μαρίνα ἀνεδείχθης, καὶ τοῦ ἐχθροῦ καθεῖλες τὰ μηχανήματα.

Τοῦ πυρὸς ὑπήνεγκας τὴν ὁρμήν, καὶ πυρὶ ἀΰλῳ, φλέγεις ὕλην τὴν τῶν παθῶν, ἔνδοξε Μαρίνα, Χριστοῦ Παρθενομάρτυς, καὶ πᾶσιν ἀναβλύζεις, χάριν σωτήριον.
Πίστει προσιόντες τῷ σῷ ναῷ, ἔνδοξε Μαρίνα, πάσης βλάβης τοῦ πονηροῦ, λυτρούμεθα θᾶττον, τῇ σῇ ἐπιστασίᾳ, καὶ πάσης δυσχερείας λύσιν εὑρίσκομεν.
Πλήρου τὰς αἰτήσεις τῶν εὐσεβῶν, καὶ δίδου ὑγείαν, τὴν κατ᾽ ἄμφω διηνεκῶς, καὶ ἁμαρτημάτων, τὴν ἄφεσιν ἐξαίτει, Μαρίνα Ἀθληφόρε, τοῖς σὲ γεραίρουσι.
Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή

ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Μάρτυς, Ἀθληφόρε τοῦ Χριστοῦ, ἔνδοξε Μαρίνα θεόφρον, ἀξιοθαύμαστε, πάσης ἐξελοῦ ἡμᾶς, ἐπιφορᾶς χαλεπῶν, καὶ κινδύνων καὶ θλίψεων, τὸν τάραχον παῦσον, τοῖς πιστῶς προστρέχουσι τῇ ἀντιλήψει σου, λύουσα παθῶν τὰς ἐφόδους, καὶ εἰρήνην πᾶσι αἰτοῦσα, καὶ πλημμελημάτων ἀπολύτρωσιν.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι’ εὐχῶν.*